UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XLIII. De Constantini in pauperes beneficentia.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A τὸν θεοσεβῆ. τὸν κοινὸν εὐεργέτην, ἀνυμνοῦντα διετέλουν· φωνῇ τε μιᾷ καὶ ἑνὶ στόματι, κοινὸν ἀγαθὸν ἀνθρώποις ἐκ Θεοῦ χάριτος οἱ πάντες Κωνσταντῖνον ὡμολόγουν ἐπιλάμψαι. ἡπλοῦτο δὲ καὶ βασιλικὸν ἁπανταχοῦ γράμμα. τοῖς μὲν τὰς ὑπάρξεις ὑφαρπαγεῖσι τὴν τῶν οἰκείων ἀπόλαυσιν δωρούμενον. τοὺς δ' ἄδικον ἐξορίαν ὑπομείναντας, ἐπὶ τὰς σφῶν ἀνακαλούμενον ἑστίας. ἠλευθέρου τε καὶ δεσμῶν, παντός τε κινδύνου καὶ δέους. τοὺς ὑπὸ τῆς τυραννικῆς ὠμότητος τούτοις ὑποβεβλημένους.

nuis laudibus prædicantes. Eum cuncti commune quoddam bonum, Dei benignitate humano generi donatum illuxisse, uno ore atq; una voce testabantur. Sed & Imperatoris literæ ubique propositæ legebantur: quibus ii qui bonis suis spoliati fuissent, eorum possessionem beneficio Principis recuperabant: & qui injustè relegati essent, penatibus suis restituebantur. Vinculis quoque & omni periculo ac metu liberabantur ii, qui per tyrannicam crudelitatem iis vexati fuissent.

B

## ΚΕΦΑΛΑΙΟΝ ΜΒ´.

Ἐπισκόπων τιμαὶ, καὶ ἐκκλησιῶν οἰκοδομαί.

Βασιλεὺς δ' αὐτὸς τοὺς τοῦ Θεοῦ λειτουργοὺς συγκαλῶν, θεραπείας καὶ τιμῆς τῆς ἀνωτάτω ἠξίου. ἔργοις καὶ λόγοις τοὺς ἄνδρας ὡσανεὶ τῷ αὐτοῦ Θεῷ καθιερωμένους, φιλοφρονούμενος. ὁμοτράπεζοι δῆτα συνῆσαν αὐτῷ, ἄνδρες εὐτελεῖς μὲν τῇ τοῦ σχήματος ὀφθῆναι περιβολῇ, ἀλλ' οὐ τοιοῦτοι καὶ αὐτῷ νενομισμένοι. ὅτι μὴ τὸν ὁρώμενον τοῖς πολλοῖς ἄνθρωπον, τὸν Θεὸν δ' ἐποπτεύειν ἐδόκει. ἐπήγετο δ' αὐτοὺς καὶ ὅποι ποτὲ στέλλοιτο πορείαν. κἂν τούτῳ τὸν θεραπευόμενον πρὸς αὐτῶν, δεξιὸν αὐτῷ παρέσεσθαι πειθόμενος. ναὶ μὴν καὶ ταῖς ἐκκλησίαις C τοῦ Θεοῦ πλουσίας τὰς παρ' ἑαυτοῦ παρεῖχεν ἐπικουρίας. ἐπαύξων μὲν καὶ εἰς ὕψος αἴρων τοὺς εὐκτηρίους οἴκους. πλείστοις δ' ἀναθήμασι τὰ σεμνὰ τῶν τῆς ἐκκλησίας καθηγιασμένων φαιδρύνων.

## Caput XLII.

*Honores Episcopis delati, & Ecclesiarum exstructiones.*

Porrò ipse Imperator ministros Dei à se convocatos, omni obsequio atque honore prosequebatur; eos utpote Deo quem colebat consecratos, non verbis modo, verùm etiam factis humaniter excipiens. Proinde mensæ ipsius adhibebantur homines, externo quidem habitu ac vestitu despicabiles: sed quos ille minimè despicabiles judicabat: quippe qui non externam hominis speciem quæ oculis subjecta est, sed Deum ipsum introspiceret. Adhæc quocumque iter faceret, eos secum deducebat; Deum quem illi colerent, ob id etiam propitium sibi adfore pro certo habens. Quinetiam Ecclesiis Dei plurima ex thesauris suis beneficia subministravit; partim sacras ædes amplificans & in sublime erigens; partim augusta Ecclesiarum sacraria plurimis donariis exornans.

## ΚΕΦΑΛΑΙΟΝ ΜΓ´.

Περὶ τῆς εἰς τοὺς πένητας εὐεργεσίων Κωνσταντίνου.

Παντοίας τε χρημάτων διαδόσεις τοῖς ἐνδεέσι ποιούμενος. τούτων δ' ἐκτὸς καὶ τοῖς ἔξωθεν αὐτῷ προσιοῦσι φιλάνθρω- D πον καὶ εὐεργετικὸν παρέχων ἑαυτὸν, τοῖς μὲν ἐπ' ἀγορᾶς μεταιτοῦσιν οἰκτροῖς τισι καὶ ἀπερριμμένοις, οὐ χρημάτων μόνον οὐδέ γε τῆς ἀναγκαίας τροφῆς, ἀλλὰ καὶ σκέπης εὐσχήμονος τοῦ σώματος προὐνόει. τοῖς δ' εὖ μὲν τὰ πρῶτα γεγονόσι, βίου δὲ μεταβολῇ δυστυχήσασι, δαψιλεστέρας παρεῖχε τὰς χορηγίας βασιλικῷ γέ τοι φρονήματι μεγαλοπρεπεῖς τὰς εὐποιίας τοῖς οὕτως ἔχουσι παρέχων,

## Caput XLIII.

*De Constantini in pauperes beneficentia.*

Variis deniq; pecuniarum divisionibus egentium inopiam sublevans. Extraneis prætereа qui ipsum adirent, humanum se ac liberalem præbebat. Ac miseris quidem illis & abjectis qui in foro mendicant, non pecunias solùm & alimenta ad victũ necessaria, sed etiam vestem ad tegendam corporis nuditatem suppeditari jussit. Illis verò qui cùm ingenui atq; opulenti prius extitissent, postea mutata sorte in extremas calamitates inciderant, largiora vitæ subsidia cōmodavit. Prorsusq; regio animo magnifica quædam munera in ejusmodi homines conferens, aliis agros

donavit: alios variis dignitatibus ornavit. Et eorum quidem qui in orbitatis miserias incidissent, quasi pater curam gerebat: viduarum autem mulierum solitudinem sublevans, eas patrocinio suo fovebat. Quinetiam virgines parentibus suis orbatas ipse hominibus opulentis ac familiaribus suis in matrimonium dedit. Idque agebat, cùm priùs dedisset nubentibus, quæcumque ipsas viris suis conferre oportebat. Deniq; quemadmodum Sol supra terras exoriens lucis suæ radios cunctis liberaliter impertit; sic planè Constantinus primo diluculo procedens ex palatio, ac cum cælesti Solis jubare quodammodo exoriens, cunctis adeuntibus beneficentiæ suæ radios impertiebat. Nec ullus unquam ad illum propius accessit, qui fructum alicujus beneficii non retulerit: nec spe sua unquam frustrati sunt, qui ab ipso aliquid auxilii exspectassent.

A τοῖς μὲν ἀγρῶν κλήσεις ἐδωρεῖτο. τοὺς δὲ διαφό-
ροις ἀξιώμασιν ἐτίμα. καὶ τῶν μὲν ὀρφανίᾳ
δυστυχησάντων, ἐν πατρὸς ἐπεμελεῖτο χώρᾳ·
γυναικῶν δὲ χηρῶν τὸ ἀπερίστατον ἀνακτώ-
μενος, δι' οἰκείας ἐπεμέλει κηδεμονίας. ὡς καὶ
καὶ γάμῳ ζεύγνυσθαι γνωρίμοις αὐτῷ καὶ πλου-
σίοις ἀνδράσι κόρας ἐρημίᾳ γονέων ὀρφανι-
σθείσας. καὶ ταῦτ' ἔπραττε, προδιδοὺς ταῖς γα-
μουμέναις ὅσα ἐχρῆν τοῖς λαμβάνουσι πρὸς
γάμου κοινωνίαν εἰσφέρειν. ὥσπερ δ' ἀνίσχων
B ὑπὲρ γῆς ἥλιος, ἀφθόνως τοῖς πᾶσι τῶν τοῦ φω-
τὸς μεταδίδωσι μαρμαρυγῶν. κατὰ ταὐτὰ
δὴ καὶ Κωνσταντῖνος, ἅμα ἡλίῳ ἀνίσχοντι
βασιλικῶν οἴκων προφαινόμενος, ὥσπερ συ-
νανατέλλων τῷ κατ' οὐρανὸν φωστῆρι, τοῖς εἰς
πρόσωπον αὐτῷ παριοῦσιν ἅπασι, φωτὸς αὐ-
γὰς τῆς οἰκείας ἐξέλαμπε καλοκἀγαθίας. οὐκ
ἦν τ' ἄλλως πλησίον γενέσθαι, μὴ οὐχὶ ἀγαθοῦ
τινος ἀπολαύσαντα. οὐδ' ἦν ποτ' ἐκπεσεῖν ἐλπί-
δος χρηστῆς, τοῖς τῆς παρ' αὐτοῦ τυχεῖν ἐπικου-
ρίας προσδοκήσασι.

C

## Caput XLIV.

*Quomodo Synodis Episcoporum interfuit.*

AC generaliter quidem erga omnes talem se præstitit. Verùm Ecclesiæ Dei præcipuè curam gerens, cùm per diversas Provincias quidam inter se dissentirent, ipse velut communis omniũ Episcopus à Deo constitutus, ministrorum Dei concilia congregavit. Nec dedignatus adesse & considere in medio illorum conventu, cognitionis particeps fuit; ea quæ ad pacem Dei pertinent, cunctis procurans. Porrò sedebat in medio tanquam unus è multis; Protectores quidem cunctósque corporis custodes procul amovens, Dei autem timore contectus, & amicorum fidelium benevolentia vallatus. Ceterùm quoscumque saniori sententiæ acquiescere, & ad quietem & concordiam propensos esse animadverterat, eos maximè probabat; palam indicans unanimi omnium consensu se inprimis delectari. Pertinaces verò & immorigeros aversabatur.

## ΚΕΦΑΛΑΙΟΝ ΜΔ'

*Ὅπως ταῖς συνόδοις τῶν Ἐπισκόπων συμπαρῆν.*

ΚΟινῶς μὲν οὖν πρὸς ἅπαντας ἦν τοιοῦ-
τος. ἐξαίρετον δὲ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ
τὴν παρ' αὐτοῦ νέμων φροντίδα. διαφερομέ-
νων τινῶν πρὸς ἀλλήλους κατὰ διαφόρους χώρας,
οἷά τις κοινὸς Ἐπίσκοπος ἐκ Θεοῦ καθεσταμέ-
νος, συνόδους τῶν τοῦ Θεοῦ λειτουργῶν συνεκρό-
τει. ἐν μέσῃ δὲ τῇ τούτων διατριβῇ, οὐκ ἀπαξι-
παρεῖναί τε καὶ συνιζάνειν, κοινωνὸς τῶν ἐπι-
σκεμμένων ἐγίνετο, τὰ τῆς εἰρήνης τοῦ Θεοῦ βρα-
βεύων τοῖς πᾶσι. καθῆστό τε καὶ μέσος, ὡσεὶ καὶ τῶν
D πολλῶν εἷς. δορυφόρους μὲν καὶ ὁπλίτας καὶ τοὺς
τὸ σῶμα τοῦ φυλάκων γένος ἀποσεισάμενος,
δὲ τοῦ Θεοῦ φόβῳ καθημφιεσμένος, τῶν τε πι-
στῶν ἑταίρων τοῖς εὐνουστάτοις περιεσοιχισμένος.
ὅσους μὲν ἑώρα τῇ κρείττονι γνώμῃ πειθηνίους,
πρὸς εὐσταθῆ τε καὶ ὁμογνώμονα παρεσχημέ-
νους τρόπον, εὖ μάλα τούτους ἀπεδέχετο,
χαίροντα δεικνὺς ἑαυτὸν τῇ κοινῇ πάντων ὁμο-
νοίᾳ. τοὺς δ' ἀπειθῶς ἔχοντας, ἀπεστρέφετο.

## Caput XLV.

*Quomodo insipientes toleraverit.*

QUinetiam nonnullos qui adversus ipsum asperiùs invecti fuerant, patienter tulit; leni ac sedata voce eis præ-

## ΚΕΦΑΛΑΙΟΝ ΜΕ'.

*Ὅπως καὶ τῶν ἀφρόνων ἠνείχετο.*

ΗΔη δέ τινας καὶ κατ' αὐτοῦ τραχυνομένους
ἔφερεν ἀνεξικάκως. ἠρεμαίᾳ καὶ πρᾳείᾳ